ἐπὶ θρόνου ὑψηλοῦ ἐκέλευσε τὸν αἴσωπον εἰσελθεῖν. εἰσ-
ελθὼν δὲ καὶ τὴν παρασκευὴν θεασάμενος προσκυνή-
σας ἔστη. ὁ δὲ νεκτεναβὼ πρὸς αὐτὸν ἔφη, τίνι ἄρα εἰ-
κάζεις ἐμέ τε καὶ τοὺς περὶ ἐμὲ βλέπων. ὁ δὲ ἔφη,
σὲ μὲν ἡλίῳ τῷ τῆς ἐαρινῆς ὥρας ἐξανατέλλοντι, τοὺς
δὲ περὶ σὲ, τῶν ἐκ τῆς γῆς καρπῶν τῇ ὡραιότητι. ὡς γὰρ
βασιλεὺς πορφυρίζουσαν ἔχεις τὴν ἀπὸ τῆς ὁράσεως τέρ-
ψιν καὶ τοὺς καρποὺς εὐανθεῖς ἀναλαμβάνεις. ὁ δὲ βα-
σιλεὺς θαυμάσας αὐτοῦ τὸ νοερὸν δῶρα αὐτῷ ἐπιδέδω-
κε. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὁ βασιλεὺς στολὴν λευκὴν καὶ
καθαρὰν ἐνδυσάμενος, τοῖς δὲ φίλοις κόκκινα περι-
θεὶς ἐλθόντος τοῦ αἰσώπου, ἐπύθετο ὡσαύτως λέγων,
τίνι ἄρα εἰκάζεις ἡμᾶς εἶναι. ὁ δὲ αἴσωπος φησί, σοὶ